Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XIX. De Flaccilla Imperatrice.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

τοίνυν, καὶ τοῖς ἄλλοις κοινώνει τῆς στάσεως. ἁλουργὶς γὰρ βασιλέας, οὐχ ἱερέας ποιεῖ. καὶ ταύτην δὲ ὁ πιστότατος βασιλεὺς ἀσμένως δεξάμενος τὴν εἰσήγησιν, ἀντεδήλωσεν, ὡς οὐ θρασύτητι χρώμενος, ἔνδον τῶν κιγκλίδων μεμένηκεν, ἀλλ᾽ ἐν Κωνσταντινουπόλει τοῦτο εἶναι ἔθος μαθών. χάριν δὲ ὀφείλω, ἔφη, καὶ τῆσδε τῆς ἰατρείας. τοσαύτῃ καὶ τηλικαύτῃ καὶ ὁ ἀρχιερεὺς καὶ ὁ βασιλεὺς διέλαμπον ἀρετῇ. ἀμφοτέρων γὰρ ἔγωγε ἄγαμαι, τοῦ μὲν τὴν παρρησίαν, τοῦ δὲ τὴν εὐπείθειαν· καὶ τοῦ μὲν τὴν τοῦ ζήλου θερμότητα, τοῦ δὲ τὴν τῆς πίστεως καθαρότητα. τοὺς δὲ δὴ τῆς εὐσεβείας ὅρους, οὓς παρὰ τοῦ μεγάλου ἀρχιερέως μεμάθηκε, καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐπανελθὼν διετήρησεν. ἑορτῆς γὰρ αὐτὸν πάλιν θείας εἰς τὸν θεῖον ἀγαγούσης νεών, τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκὼν εὐθὺς ἐξελήλυθεν. τοῦ δὲ τῆς ἐκκλησίας προέδρου, Νεκτάριος δὲ τηνικαῦτα ἦν, δεδηλωκότος, τί δή ποτε μὴ μεμένηκας ἔνδον, στενάξας· μόγις, ἔφη, βασιλέως καὶ ἱερέως ἐδιδάχθην διαφοράν· μόγις εὗρον ἀληθείας διδάσκαλον. Ἀμβρόσιον γὰρ οἶδα μόνον ἐπίσκοπον ἀξίως καλούμενον. τοσοῦτον ὄνησιν ἔλεγχος παρὰ ἀνδρὸς ἀρετῇ λάμποντος προσφερόμενος.

A igitur, & unà cum aliis consiste. Nam purpura Imperatores facit, non sacerdotes. Quam itidem admonitionem æquo animo suscipiens fidelissimus Imperator, renuntiari jussit Ambrosio: se nequaquam arrogantia elatum intra cancellos substitisse; sed quia Costantinopoli eum morem esse didicisset. Cæterum pro hac etiam curatione gratiam se habere. Talis ac tanta virtus, tum in Sacerdote enituit, tum in Principe. Utrumque certe pariter admiror; alterum ob loquendi libertatem, alterum ob submissam obedientiam: & illius B quidem ardentem Zelum; hujus vero puram ac sinceram fidem. Porro pietatis regulas, quas à magno Antistite acceperat, reversus postea Constantinopolim, illic quoque servavit. Nam cum festus quidam dies ipsum denuò ad Ecclesiam adduxisset, oblatis ad sacram mensam muneribus suis, statim abscessit. Cumque Ecclesiæ illius Pontifex Nectarius rogaret quamobrem intùs non remansisset, suspirans respondit: Vix tandem edoctus sum, quid esset discriminis inter Sacerdotem ac Principem: veritatis magistrum vix tandem inveni. Unum enim Ambrosium novi, C qui Episcopus dici mereatur. Tantam utilitatem habet reprehensio, quæ fit à viro excellenti virtute prædito.

## Κεφ. ιθ΄.

### Περὶ Πλακίλλης τῆς βασιλίδος.

Εἶχε δὲ καὶ ἄλλην ἀφορμὴν ὠφελείας ὁ βασιλεύς. ἡ γὰρ τοῦ γάμου τὸν ζυγὸν σὺν αὐτῷ δεξαμένη, τῶν θείων αὐτῷ συνεχῶς ἀνεμίμνησκε νόμων, ἑαυτὴν τούτους πρῶτον ἀκριβῶς ἐκπαιδεύσασα. οὐ γὰρ ἐπῆρεν αὐτὴν τῆς βασιλείας ἡ δυναστεία, ἀλλὰ τὸν θεῖον πλέον ἐπύρσευσε πόθον. τῆς γὰρ εὐεργεσίας τὸ μέγεθος, μεῖζον τὸ περὶ τὸν δεσπότην εἰργάζετο φίλτρον. αὐτίκα γοῦν καὶ τῶν τὸ σῶμα πεπηρωμένων καὶ ἅπαντα τὰ μέλη λελωβημένων, παντοδαπὴν ἐποιεῖτο φροντίδα, οὐκ οἰκέταις, οὐδὲ δορυφόροις ὑπουργοῖς κεχρημένη· ἀλλ᾽ αὐτουργὸς γιγνομένη, καὶ εἰς τὰς τούτων καταγωγὰς ἀφικνουμένη, καὶ ἑκάστῳ τὴν χρείαν πορίζουσα. οὕτω καὶ τῶν ἐκκλησιῶν τοὺς ξενῶνας περινοστοῦσα, τοὺς κλινοπετεῖς δι᾽ ἑαυτῆς ἐνοσήλευεν, αὐτὴ καὶ χύτρας ἁπτομένη καὶ ζωμοῦ γευομένη, καὶ τρύβλιον προσφέρουσα, καὶ ἄρτον κλῶσα, καὶ ψωμοὺς ὀρέγουσα,

## Cap. XIX.

### *De Flacilla Imperatrice.*

Aliam præterea occasionem proficiendi habuit Imperator. Conjux enim, divinæ legis præcepta ei in memoriam assiduè revocabat, quibus se ipsa prius accurate erudierat. Neque enim Imperiali potentia efferebatur; sed ad amorem Dei excitabatur ardentius. D Quippe accepti beneficii magnitudo, amorem illius erga Dominum augebat. Itaque eorum, qui corpore mutili & omnibus membris debilitati erant, omnibus modis curam gerebat; non servorum aut satellitum ad eam rem utens ministerio: sed ipsa ministrans, & illorum adiens diversoria, & singulis utilia præbens. Simili quoque modo Ecclesiarum hospitia circumiens, ægros in lecto jacentes ipsamet sollicite curabat, ollas contrectans, & jusculum ipsa degustans; patinam præterea ferens & panem frangens, & escam porrigens:

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

calicem denique lavans, aliaqve omnia A faciens, quæ à servis & ancillis fieri solent. Iis verò, qui ab hoc ministerio revocare ipsam studebant, dicere solebat. Auri distributio Imperio convenit. Ego vero pro ipso Imperio ministerium meum Deo auctori illius offero. Viro autem suo hæc perpetuò dicere consueverat: Semper cogitare debes, mi vir, quid prius fueris, & quid nunc sis. Hæc enim si continuò perpenderis, nequaquam ingratus eris erga auctorem tuum; Sed Imperium, quod accepisti, justè administrabis, atque hoc modo coles eum, qui dedit. B His sermonibus cum assiduè uteretur, virtutis semina, quæ in viro erant, hac egregia & utili irrigatione nutriebat. Et ipsa quidem ante maritum suum excessit è vita. Aliquanto vero tempore post ejus obitum accidit quidpiam, quo Imperatoris erga illam amor est declaratus.

## Cap. XX.

*De seditione, quæ facta est Antiochiæ.*

BEllorum frequentiâ compulsus Imperator, novum tributi genus B civitatibus indixerat. Hanc novam exactionem civitas Antiochensium ferre non potuit. Plebs enim cum eos à quibus exigebatur, suspendi in eculeo videret, tum alia perpetravit, quæ vulgus perpetrare solet, ubi seditionis occasionem nactum est: tum statuam æneam laudatissimæ Flacillæ, id enim nomen fuerat Imperatrici, dejecit, & per plurimos civitatis vicos traxit. His auditis Imperator, ut par erat, graviter commotus, & privilegia urbi ademit, & vicinæ civitati primatum attribuit, ratus hoc Antiochensibus maximum dolorem allaturum: Jampridem enim D Laodicea æmula erat Antiochiæ. Postea vero, incensurum se quoque ac destructurum urbem minatus est, & in vici formam redacturum. Magistratus porro, quosdam in ipso facinore deprehensos necaverant, priusquam Imperator de hac seditione quidquam comperiisset. Et hæc quidem cuncta Imperator fieri præceperat. Sed quo minus fierent, obstitit lex, quæ Magni Ambrosii hortatu lata erat. Cum igitur venissent, qui Imperatoris minas adferebant, Elebichus scilicet tunc Magister militum, & Cæsarius Magister Officiorum: sic enim Romani vocant

A καὶ κύλικα ἀποκλύζουσα, καὶ τὰ ἄλλα πάντα ἐργαζομένη, ὅσα οἰκετῶν καὶ θεραπαινίδων ἔργα νενόμισται· καὶ τοῖς τὴν αὐτουργίαν ἐπέχειν πειρωμένοις ἔλεγεν, ὡς τὸ μὲν χρυσίον διανέμειν τῇ βασιλείᾳ προσήκει· ἐγὼ δὲ ὑπὲρ αὐτῆς γε τῆς βασιλείας τὴν αὐτουργίαν τῷ δεδωκότι προσφέρω· καὶ τῷ ὁμοζύγῳ δὲ συνεχῶς εἰώθει λέγειν· ἀεί σε, ὦ ἄνερ, προσήκει λογίζεσθαι, τί μὲν ἦσθα πάλαι, τί δὲ γέγονας νῦν. ταῦτα γὰρ διηνεκῶς ἐνθυμούμενος, οὐκ ἔσῃ περὶ τὸν εὐεργέτην ἀχάριστος, ἀλλ' ἣν ἐδέξω βασιλείαν κυβερνήσεις B ἐννόμως, καὶ ταύτῃ θεραπεύσεις τὸν δεδωκότα. τούτοις ἀεὶ κεχρημένη λόγοις, οἷόν τινα καλλίστην ἄρδειαν καὶ πρόσφορον, τοῖς τῆς ἀρετῆς τοῦ ἀνδρὸς προσέφερε σπέρμασι. προτέρα μὲν οὖν τοῦ ἀνδρὸς ἐτελεύτησε· καὶ συνέβη μετὰ χρόνον τινὰ τῆς τελευτῆς τοιόνδε τι γενέσθαι, ὃ τὴν τοῦ βασιλέως περὶ αὐτὴν φιλοστοργίαν ἐγνώρισεν.

## Κεφ. κ'.

*Περὶ τῆς ἐν Ἀντιοχείᾳ γεγονυίας στάσεως.*

ΥΠὸ τῶν συχνῶν πολέμων ἀναγκαζόμενος ὁ βασιλεύς, εἰσφοράν τινα ξένην ταῖς πόλεσιν ἐπιτέθεικεν· ἡ δὲ Ἀντιόχου πόλις τὸ καινὸν τέλος οὐκ ἤνεγκεν· ἀλλ' ὁρῶν ὁ δῆμος τοὺς εἰσπραττομένους κρεμαννυμένους, ἄλλα τε ἔδρασεν, ἃ ποιεῖν φιλεῖ ὄχλος πρόφασιν εἰς ἀταξίαν λαμβάνων· καὶ τὴν χαλκῆν εἰκόνα τῆς πανευφήμου Πλακίλλης, τοῦτο γὰρ ὄνομα τῇ βασιλίδι, καθήνεγκέ τε καὶ ἐπὶ πολὺ τῆς πόλεως κατέσυρε μέρος· ταῦτα πυθόμενος ὁ βασιλεύς, καὶ χαλεπήνας, ὥσπερ εἰκὸς ἦν, τά τε τῆς πόλεως ἀφείλετο προνόμια, καὶ τῇ γειτονευούσῃ πόλει τὴν ἡγεμονίαν παρέδωκε, ταύτῃ μάλιστα νομίζων ἀνιάσειν· D ἐζηλοτύπει γὰρ ἡ Λαοδίκεια τὴν Ἀντιόχειαν ἄνωθεν. μετὰ δὲ ταῦτα καὶ ἐμπλήσειν ἠπείλει καὶ καταλύσειν, καὶ εἰς κώμην τὸ ἄστυ μετασκευάσειν. οἱ δέ γε ἄρχοντες καὶ ἀνεῖλόν τινας παρ' αὐτὸ συλλαβόντες τὸ τόλμημα, πρὶν γνῶναι τὸν βασιλέα τὴν τραγῳδίαν· ταῦτα δὲ πάντα ὁ βασιλεὺς προσέταττε μέν, οὐκ ἐγένετο δέ, τοῦ νόμου κωλύοντος ὃν Ἀμβρόσιος ὁ μέγας τεθῆναι παρῄνεσεν. ἐπειδὴ δὲ ἀφίκοντο οἱ τὰς ἀπειλὰς ἐκείνου κομίζοντες, Ἐλεβῖχος στρατηγὸς τηνικαῦτα ὤν, καὶ Καισάριος ὁ τῶν βασιλείων ἡγούμενος, μάγιστρον δὲ οἱ Ῥωμαῖοι καλοῦσι

τὸν